σεν, εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ.

Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης.

Ψαλμὸς τῷ Δαβίδ. ια.

Σῶσόν με κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος,
ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν
τῶν ἀνθρώπων.
Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησί-
ον αὐτοῦ, χείλη δόλια, ἐν καρδίᾳ καὶ ἐν καρ-
δίᾳ ἐλάλησε κακά.
Ἐξολοθρεύσαι κύριος πάντα τὰ χείλη τὰ
δόλια, καὶ γλῶσσαν μεγαλορρήμονα.
Τοὺς εἰπόντας τὴν γλῶσσαν ἡμῶν μεγαλυ-
νοῦμεν, τὰ χείλη ἡμῶν παρ' ἡμῖν ἐστι, τίς ἡμῶν
κύριός ἐστιν;
Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ τοῦ
στεναγμοῦ τῶν πενήτων, νῦν ἀναστήσομαι λέ-
γει κύριος. / αὐτῷ
Θήσομαι ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ.
Τὰ λόγια κυρίου, λόγια ἁγνά, ἀργύριον
πεπυρωμένον, δοκίμιον τῇ γῇ, κεκαθα-
ρισμένον ἑπταπλασίως.
Σὺ κύριε φυλάξαις ἡμᾶς, καὶ διατηρήσαις